# ARISTOFANE



**<u>PASSO SCELTO</u>:**

- ***Acarnesi*** **vv. 659-691**

**-------------------------------------------------------------------------**

**Totale versi 32**

# *Acarnesi*, vv. 659-691

659. Πρὸς ταῦτα Κλέων καὶ παλαμάσθω

…………………………………………………………………………………………..

660. καὶ πᾶν ἐπ' ἐμοὶ τεκταινέσθω.

…………………………………………………………………………………………..

661. Τὸ γὰρ εὖ μετ' ἐμοῦ καὶ τὸ δίκαιον

…………………………………………………………………………………………..

662. ξύμμαχον ἔσται, κοὐ μή ποθ' ἁλῶ

…………………………………………………………………………………………..

663. περὶ τὴν πόλιν ὢν ὥσπερ ἐκεῖνος

…………………………………………………………………………………………..

664. δειλὸς καὶ λακαταπύγων.

…………………………………………………………………………………………..

665. Δεῦρο Μοῦσ' ἐλθὲ φλεγυρὰ πυρὸς ἔ-

…………………………………………………………………………………………..

666. χουσα μένος ἔντονος ᾽Αχαρνική.

…………………………………………………………………………………………..

667. Οἷον ἐξ ἀνθράκων πρινίνων φέψαλος ἀν-

…………………………………………………………………………………………..

668. ήλατ' ἐρεθιζόμενος οὐρίᾳ ῥιπίδι,

…………………………………………………………………………………………..

669.

670. ἡνίκ' ἂν ἐπανθρακίδες ὦσι παρακείμεναι,

…………………………………………………………………………………………..

671. οἱ δὲ Θασίαν ἀνακυκῶσι λιπαράμπυκα,

……………………………………………………………………………………………

672. οἱ δὲ μάττωσιν, οὕτω σοβαρὸν

……………………………………………………………………………………………

673.

674. ἐλθὲ μέλος εὔτονον, ἀγροικότονον,

……………………………………………………………………………………………

675. ὡς ἐμὲ λαβοῦσα τὸν δημότην.

…………………………………………………………………………………………

676. Οἱ γέροντες οἱ παλαιοὶ μεμφόμεσθα τῇ πόλει·

…………………………………………………………………………………………

677. οὐ γὰρ ἀξίως ἐκείνων ὧν ἐναυμαχήσαμεν

……………………………………………………………………………………………

678. γηροβοσκούμεσθ' ὑφ' ὑμῶν, ἀλλὰ δεινὰ πάσχομεν,

……………………………………………………………………………………………

679. οἵτινες γέροντας ἄνδρας ἐμβαλόντες εἰς γραφὰς

……………………………………………………………………………………………

680. ὑπὸ νεανίσκων ἐᾶτε καταγελᾶσθαι ῥητόρων,

……………………………………………………………………………………………

681. οὐδὲν ὄντας, ἀλλὰ κωφοὺς καὶ παρεξηυλημένους,

……………………………………………………………………………………………

682. οἷς Ποσειδῶν ἀσφάλειός ἐστιν ἡ βακτηρία·

……………………………………………………………………………………………

683. τονθορύζοντες δὲ γήρᾳ τῷ λίθῳ προσέσταμεν,

……………………………………………………………………………………………

684. οὐχ ὁρῶντες οὐδὲν εἰ μὴ τῆς δίκης τὴν ἠλύγην.

……………………………………………………………………………………………………..

685. Ὁ δὲ νεανίας ἑαυτῷ σπουδάσας ξυνηγορεῖν

……………………………………………………………………………………………………..

686. εἰς τάχος παίει ξυνάπτων στρογγύλοις τοῖς ῥήμασιν·

……………………………………………………………………………………………………..

687. κᾆτ' ἀνελκύσας ἐρωτᾷ σκανδάληθρ' ἱστὰς ἐπῶν

……………………………………………………………………………………………………..

688. ἄνδρα Τιθωνὸν σπαράττων καὶ ταράττων καὶ κυκῶν.

……………………………………………………………………………………………………..

689. Ὁ δ' ὑπὸ γήρως μασταρύζει, κᾆτ' ὀφλὼν ἀπέρχεται·

……………………………………………………………………………………………………..

690. εἶτα λύζει καὶ δακρύει καὶ λέγει πρὸς τοὺς φίλους·

……………………………………………………………………………………………………..

691. «Οὗ μ' ἐχρῆν σορὸν πρίασθαι τοῦτ' ὀφλὼν ἀπέρχομαι.»

……………………………………………………………………………………………………..